Κεφάλαιο Β, 43

Κείμενο (Κύρια Πρόθεση : Παραίνεση προς τους πολίτες )

[43] *Και οἵδε μεν προσηκόντως τῇ πόλει τοιοίδε ἐγένοντο·*

*τοὺς δὲ λοιποὺς ( ὑμᾶς) χρὴ ἀσφαλεστέραν μὲν εὔχεσθαι ( ἔχειν τὴν διάνοιαν ),*

*ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν την ἐς τοὺς πολεμίους διάνοιαν ἔχειν,*

*σκοποῦντας μὴ λόγῳ μόνῳ τὴν ὠφελίαν,*

*ἣν ἄν τις πρὸς οὐδὲν χεῖρον αὐτοὺς ὑμᾶς εἰδότας μηκύνοι λέγων*

*ὅσα ἐν τῷ τοὺς πολεμίους ἀμύνεσθαι ἀγαθὰ ἔνεστιν,*

*ἀλλὰ μᾶλλον τὴν τῆς πόλεως δύναμιν καθ' ἡμέραν ἔργῳ θεωμένους*

*καὶ ἐραστὰς γιγνομένους αὐτῆς,*

*καὶ ὅταν ὑμῖν μεγάλη δόξῃ εἶναι,*

*ἐνθυμουμένους ὅτι τολμῶντες καὶ γιγνώσκοντες τὰ δέοντα καὶ*

*ἐν τοῖς ἔργοις αἰσχυνόμενοι ἄνδρες αὐτὰ ἐκτήσαντο,*

*καὶ ὁπότε καὶ πείρᾳ του σφαλεῖεν,*

*οὐκ οὖν καὶ τὴν πόλιν γε τῆς σφετέρας ἀρετῆς ἀξιοῦντες στερίσκειν,*

*κάλλιστον δὲ ἔρανον αὐτῇ προϊέμενοι.*

*Κοινῇ γὰρ τὰ σώματα διδόντες ἰδίᾳ τὸν ἀγήρων ἔπαινον ἐλάμβανον καὶ τὸν τάφον ἐπισημότατον,*

*οὐ ( τόν τάφον ), ἐν ᾧ κεῖνται μᾶλλον*

*ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν παρὰ τῷ ἐντυχόντι αἰεὶ*

*καὶ λόγου καὶ ἔργου καιρῷ αἰείμνηστος καταλείπεται.*

*Ἀνδρῶν γὰρ ἐπιφανῶν πᾶσα γῆ ( ἐστι ) τάφος,*

*καὶ οὐ στηλῶν μόνον ἐν τῇ οἰκείᾳ ( γῇ ) σημαίνει ἐπιγραφή,*

*ἀλλὰ καὶ ἐν τῇ μὴ προσηκούσῃ ( γῇ )*

*ἄγραφος μνήμη παρ' ἑκάστῳ τῆς γνώμης μᾶλλον ἢ τοῦ ἔργου ἐνδιαιτᾶται.*

*Οὓς νῦν ὑμεῖς ζηλώσαντες καὶ τὸ εὔδαιμον τὸ ἐλεύθερον,*

*τὸ δ' ἐλεύθερον τὸ εὔψυχον κρίναντες μὴ περιορᾶσθε τοὺς πολεμικοὺς κινδύνους.*

*Οὐ γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῖεν ἂν τοῦ βίου,*

*οἷς ἐλπὶς οὐκ ἔστιν ἀγαθοῦ,*

*ἀλλ' ( οὗτοι ) οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ ζῆν ἔτι κινδυνεύεται*

*καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέροντα ( ἔσται ), ἤν τι πταίσωσιν.*

*Ἀλγεινοτέρα γὰρ ( ἐστιν ) ἀνδρί γε φρόνημα ἔχοντι ἡ μετὰ τοῦ [ἐν τῷ] μαλακισθῆναι κάκωσις*

*ἢ ὁ μετὰ ῥώμης καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος ἀναίσθητος θάνατος.*



*Λήκυθος του «ζωγράφου του Bosanquet», ( περ. 440 π.Χ. )*

*Στην επιτύμβια στήλη με την βαθμιδωτή βάση και την ταινία,*

*έχουν εναποτεθεί προσφορές για τον νεκρό :*

*μικρά αγγεία, λήκυθοι και οινοχόες, καρποί και στεφάνια .*

*Πίσω από τη στήλη διακρίνεται το στρογγυλό περίγραμμα του τύμβου του νεκρού.*

*Μπροστά στο μνημείο στέκεται ο νεκρός, ένας έφηβος, γυμνόπους, με μακριά μαλλιά, ντυμένος με χλαμύδα*

*με έναν πέτασο , κρεμασμένο στην πλάτη και ένα δόρυ ακουμπισμένο στον αριστερό βραχίονα˙*

*Το ό τι ο νεκρός εμφανίζεται μαζί με μια συγγενή -που δεν φαίνεται στην εικόνα-*

*αποδεικνύει τη σχέση ζωντανών και νεκρών και την επιβίωση τους στην μνήμη τους.*

*Μανόλης Βουτυράς & Αλεξάνδρα Γουλάκη-Βουτυρά*
*Κέντρο Εκπαιδευτικής Έρευνας & Ινστιτούτο Νεοελληνικών Σπουδών. www.greek-language.gr*